eul_wid: hgw-bm

Ἀριστοτέλης · Aristotle

# On the Soul

## Περὶ Ψυχῆς

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Aristotelian

t 1 Codicis E fragmenta recensionis a vulgata diversae Ἐπεὶ δὲ τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, ἐφ’ ὅσον ἕκαστος ἀπεφήνατο τῶν πρότερον, εἴρηται σχεδόν, νῦν ὥσπερ ἐξ ἀρχῆς πάλιν ἐπανίωμεν, πειρώμενοι διορίσαι τί ἐστιν ἡ ψυχὴ καὶ τίς ἂν εἴη λόγος αὐτῆς κοινότατος· χωρίζομεν δὴ τὰς μὲν οὐσίας ἀπὸ τῶν ὄντων τῶν ἄλλων· τῆς δὲ οὐσίας τὸ μὲν ὡς ὕλην λέγεσθαι τίθεμεν, ὃ καθ’ αὑτὸ δὲ ἡ μορφή, τὸ δ’ ἐκ τούτων.

1 412a (3) ἔστι δ’ ἡ μὲν ὕλη δυνάμει, τὸ δ’ εἶδος ἐντελέχεια, αὕτη δ’ ὑπάρχει διχῶς, ἢ γὰρ ὡς ἡ ἐπιστήμη, ἢ ὡς τὸ θεωρεῖν. οὐσίαι δὲ μάλιστα δοκοῦσιν εἶναι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· .... .

2 414b (13) .. δὲ χυμὸς ὥσπερ ἥδυσμα τούτοις ἐστίν· διόπερ ὅσα ἔχει τῶν ζῴων ἀφήν, πᾶσιν ὑπάρχει καὶ ὄρεξις. περὶ δὲ φαντασίας ἄδηλον, καὶ ὕστερον ἐπισκεπτέον. ἐνίοις δὲ ταῦτά τε ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, τοῖς δ’ ἔτι πρὸς τούτοις διάνοια καὶ νοῦς, οἷον ἀνθρώπῳ κἂν εἴ τι ἄλλο ζῷον ἕτερόν ἐστι τοιοῦτον ἢ καὶ τιμιώτερον. δῆλον οὖν ὡς ὁμοίως σχήματος καὶ ψυχῆς εἷς ἂν εἴη λόγος. οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ τρίγωνον ἔστι καὶ τὰ ἐφεξῆς, οὔτ’ ἐνταῦθα ψυχὴ παρὰ τὰς εἰρημένας. γένοιτο δ’ ἂν καὶ ἐπὶ τῶν σχημάτων λόγος ὃς ἐφαρμόσει πᾶσιν, οὐκ ἔσται μεντοῖδος οὐθενὸς σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. διὸ γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ ἐπ’ ἄλλων καὶ ἐπὶ τούτων, ὃς οὐκ ἔσται οὐθενὸς τῶν ὄντων ἴδιος, οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος, τὸν τοιοῦτον ἀφέντας. παραπλησίως δὲ ὥσπερ καὶ ἐπὶ τῶν σχημάτων ἔχει καὶ τὰ περὶ τὴν ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπί τε τῶν ἐμψύχων, λέγω δ’ ὥσπερ ἐν τετραγώνῳ μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θερπτικόν. ὥστε καὶ καθ’ ἕκαστον δεῖ ζητεῖν τίς ἡ ἑκάστου ψυχή, οἷον τίς φυτοῦ καὶ τίς ἀνθρώπου καὶ τῆς θηρίου. διὰ τίνα δ’ αἰτίαν τὸ ἐφεξῆς οὕτως ἔχουσι, σκεπτέον.

2 415a ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ οὐθέν ἐστιν αἰσθητικόν· τοῦ δ’ αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικόν, οἷον ἐν τοῖς φυτοῖς. πάλιν δ’ ἄνευ τοῦ ἁπτικοῦ οὐδεμία τῶν ἄλλων αἰσθήσεων, ἁφὴ δ’ ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γὰρ ἔστι τῶν ζῴων ἃ οὔτ’ ὄψιν ἔχει οὔτ’ ἀκοήν. καὶ τῶν αἰσθητικῶν δὲ κίνησις τοῖς μὲν ὑπάρχει τοῖς δ’ οὐκ ὑπάρχει· τελευταῖον δὲ διὰ καὶ λογισμός· οἷς μὲν γὰρ ὑπάρχει λογισμός, καὶ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων, οἷς δ’ ἐκείνων ἕκαστον, οὐ πᾶσιν ὑπάρχει λογισμός. ἀλλὰ τὰ μὲν οὐδὲ φαντασίαν ἔχει μόνον. ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος οἰκειότατος περὶ ψυχῆς ἐστι, δῆλον. Ἀνάγκη δὲ τὸν περὶ τούτων μέλλοντα πραγματεύεσθαι λαβεῖν τί ἕκαστον αὐτῶν ἐστιν, εἶθ’ οὕτω περὶ τῶν ἐχομένων καὶ τῶν ἄλλων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιεῖσθαι τὴν ἐπίσκεψιν. εἰ δὲ δεῖ λέγειν τί ἕκαστον, οἷον τί τὸ νοητικὸν ἢ τί τὸ αἰσθητικὸν ἢ θρεπτικόν, πρότερον λεκτέον τί τὸ νοεῖν καὶ τί τὸ αἰσθάνεσθαι· αἱ γὰρ πράξεις καὶ αἱ ἐνέργειαι πρότεραι κατὰ τὸν λόγον εἰσὶ τῶν δυνάμεων. ἀλλὰ μὴν εἴ γε ταῦτα, πρότερον ἔτι τούτων διοριστέον τὰ ἀντικείμενα, οἷον περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ, διὰ τὴν αὐτὴν αἰτίαν. ὥστε πρῶτον περὶ τροφῆς καὶ γεννήσεως λεκτέον· αὕτη γὰρ ἡ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει πρώτη καὶ κοινοτάτη, ψυχῆς δ' ἐστὶν δύναμις καθ' ἣν ὑπάρχει τὸ ζῆν πᾶσις. ἧς ἔργον ἐστὶ γέννησις καὶ τὸ χρῆσθαι τροφῇ· τοῦτο γὰρ ἔργον μάλιστα φύσι πᾶσι τοῖς ζῶσιν, ὅσα μὴ ἀτελῆ ἢ πηρώματά ἐστιν ἢ αὐτόματον ἔχει τὴν γένεσιν, τὸ ποιῆσαι αὐτὸ οἷον ἕτερον, ζῷον μὲν ζῷα, φυτὸν δὲ φυτά, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχῃ ἕκαστον ὃν δύναται τρόπον· πάντα γὰρ ἐκείνου ὀρέγεται, κἀκείνου ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν.

2 415b τοῦ γὰρ οὗ ἕνεκα διττόν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ· ἐπεὶ οὖν οὐ τῇ συνεχείᾳ τοῦ ἀεὶ καὶ τοῦ θείου δύναται κοινωνεῖν (οὐ γὰρ ἐνδέχεται τὸ αὐτὸ ἀεὶ ἀριθμῷ εἶναι οὐθὲν τῶν φθαρτῶν), ὃν τρόπον ἐπιβάλλειν, τοῦτον ἕκαστον θιγγάνει, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον· καὶ διαμένει οὐκ αὐτό, ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δ' ἕν. ἔστι δ' ἡ ψυχὴ ἀρχὴ τοῦ ζῶντος σώματος, ἀλλ' ἡ ἀρχὴ καὶ τὸ αἴτιον λέγεται πολλαχῶς. ὅμως δ' ἡ ψυχὴ τοὺς τρεῖς τρόπους αἰτία τοὺς διωρισμένους· καὶ γὰρ ὅθεν ἡ κίνησις καὶ οὗ ἕνεκα καὶ ὡς οὐσία τῶν ἐμψύχων σωμάτων ἐστὶν ἡ ψυχή. ὅτι μὲν οὖν ὡς οὐσία δῆλον· τοῦ γὰρ εἶναι ἡ οὐσία αἴτιον πᾶσι, τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, αἰτία δὲ καὶ ἀρχὴ ἡ ψυχὴ τούτου ἐστίν. φανερὸν δὲ καὶ ὡς τὸ οὗ ἕνεκα ἡ ψυχή· καὶ γὰρ ἡ φύσι ἕνεκά του ποιεῖ, ὥσπερ ὁ νοῦς, καὶ τοῦτ' ἐστὶν αὐτῆς τὸ τέλος. καὶ ἡ ψυχὴ τοιοῦτον ἐν τοῖς κατὰ φύσιν, καὶ πᾶν τὸ σῶμα ὄργανον τῇ ψυχῇ· ὥσπερ δὲ τὸ τῶν ζῴων, καὶ τὸ τῶν φυτῶν. ἀλλὰ μὴν καὶ ὅθεν ἐκίνησις πρῶτον ἡ κατὰ τόπον, τοῦτό ἐστι ψυχή· ἀλλ' οὐ πᾶσι τοῖς ζῴοις ἡ τοιαύτη ὑπάρχει δύναμις· ἔτι δ' ἀλλοίωσις καὶ αὔξησις κατὰ ψυχήν. ἡ μὲν γὰρ αἴσθησις δοκεῖ τις ἀλλοίωσις εἶναι, μὴ ἔχον δὲ ψυχὴν οὐθὲν ἂν αἴθοιτο. ὁμοίως δὲ καὶ περὶ αὐξήσεως καὶ φθίσεως ἔχει· οὐθὲν γὰρ αὐξάνεται οὐδὲ φθίνει φυσικῶς μὴ τρέφομεν, οὐδὲ τρέφεται μὴ ζωῆς μετέχον. ἀλλὰ τοῦτο Ἐμπεδοκλῆς οὐκ εἴρηκεν ὀρθῶς, προστιθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν διὰ τὸ τὴν γῆν φύσει οὕτω φέρεσθαι, ἄνω δὲ διὰ τὸ πῦρ.

2 416a οὔτε γὰρ τὸ κάτω καὶ ἄνω λαμβάνει ὀρθῶς· οὐ γὰρ τὸ αὐτὸ ἑκάστου τὸ ἄνω καὶ τὸ κάτω καὶ τοῦ παντός, ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζῴων, οὕτως ἡ ῥίζα τῶν φυτῶν ἐστιν· τὸ δὲ αὐτὸ δεῖ λέγειν ὄργανον, ὧν ἂν ᾖ τὸ αὐτὸ ἔργον. ἔτι δὲ τί τὸ συνέχον εἰς τἀναντία φερομένων; τοῦτο γὰρ αἴτιον τὸ τῆς αὐξήσεως καὶ τροφῆς· εἰ δὲ μή, οὐθὲν κωλύσει δι— —. ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν· δι' ἣν δ' αἰτίαν, ἕτερος ἔσται περὶ αὐτῶν λόγος.

3 421a (5) περὶ δὲ ὀσμῆς καὶ τοῦ ὀσφραντοῦ οὐκ ἔστι ῥᾴδιον διορίσαι ὁμοίως τοῖς εἰρημένοις αἰσθητοῖς, τί ἐστιν ἡ ὀσμὴ οὕτως ὡς ὁ ψόφος καὶ τὸ φῶς· αἴτιον δ' ὅτι οὐκ ἔχομεν ἀκριβῆ ταύτην τὴν αἴσθησιν, ἀλλὰ χείριστα ὀσμᾶται ἄνθρωπος τῶν ζῴων, καὶ οὐδεμίαν ἄνευ τοῦ λυπηροῦ καὶ ἡδέος δύναται αἰσθέσθαι ὀσμήν, ὡς τοῦ αἰσθητηρίου ὄντος οὐκ ἀκριβοῦς. ὥσπερ οὖν τοῖς σκληροφθάλμοις ἀδήλους εἰκὸς εἶναι τὰς διαφορὰς τῶν χρωμάτων καὶ συγκεχυμένας, ἀλλὰ τῷ φοβερῷ καὶ τῷ ἀφόβῳ διορίζειν μόνον, οὕτως καὶ τὰ περὶ τὰς ὀσμὰς τοῖς ἀνθρώποις ἐπεὶ ἔοικέ τε ἀνάλογον ἔχειν πρὸς γεῦσιν καὶ ὅμοια τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς· ἀλλὰ τὴν γεῦσιν ἔχομεν ἀκριβεστέραν διὰ τὸ εἶναι ἁφήν τινα αὐτήν· δ' ἔχει τὴν αἴσθησιν ἀκριβεστάτην ἄνθρωπος· ἐν μὲν γὰρ ταῖς ἄλλαις λείπεται πολλῶν ζῴων, τῶν δ' ἁπτῶν αἰσθάνεται μάλιστα ἀκριβῶς. διὸ καὶ φρονιμώτατον τῶν ζῴων ἐστίν. σημεῖον δέ· καὶ γὰρ αὐτῶν τῶν ἀνθρώπων εὐφυεῖς οἱ δ' ἀφυεῖς εἰσὶ παρ' οὐδὲν αἰσθητήριον ἕτερον, ἀλλὰ παρὰ ταύτην. ὧν μὲν γὰρ ἡ σὰρξ μαλακή, εὐφυεῖς, οἱ δὲ σκληρόσαρκοι ἀφυεῖς τὴν διάνοιαν. ἔστι δ' ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρός, καὶ ὀσμαὶ τὸν αὐτὸν ἔχουσαι τρόπον. ἀλλὰ τὰ μὲν ἔχει τὴν ἀνάλογον ὀσμὴν καὶ χυμόν, τὰ δὲ τοὐναντίον. ὁμοίως δὲ καὶ δριμεῖα καὶ αὐστηρὰ καὶ ὀξεῖα καὶ λιπαρὰ ἔστιν ὀσμή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’, ὥσπερ εἴρηται, διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι τὰς ὀσμὰς ὥσπερ τοὺς χυμούς, ἀπό τε τούτων εἴληφε τὰ ὀνόματα καὶ ὁμοιότητα τῶν πραγμάτων, ἡ μὲν γλυκεῖα κρόκου καὶ μέλιτος, ἡ δὲ δριμεῖα θύμου καὶ τῶν τοιούτων· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων.

3 421b ἔστι δ’ ὥσπερ καὶ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων τοῦ τε ἀκουστοῦ καὶ ἀνηκούστου, καὶ ὁρατοῦ καὶ ἀοράτου, καὶ ἡ ὄσφρησις τοῦ ὀσφρητοῦ καὶ ἀνοσφράντου. ἀνόσφραντον δὲ τὸ μὲν παρὰ τὸ ὅλως ἀδύνατον ἔχειν ὀσμήν, τὸ δὲ μικρὰν ἔχον καὶ τὸ φαύλην, ὥσπερ τὸ ἄγευστον ὡσαύτως λέγεται. ἔστι δὲ καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξύ, οἷον ὕδατος καὶ ἀέρος· καὶ γὰρ τὰ ἔνυδρα φαίνεται αἰσθανόμενα ὀσμῆς, καὶ τὰ ἔναιμα καὶ ἄναιμα ὁμοίως, ὥσπερ καὶ τὰ ἐν τῷ ἀέρι· καὶ γὰρ τούτων ἔνια πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφὴν αἰσθανόμενα τὴν ὀσμήν· διὸ καὶ ἔχει ἀπορείαν εἰ πάντα μὲν ὡσαύτως ὀσμᾶται, ὁ δ’ ἄνθρωπος ἀναπνέων, μὴ ἀναπνέων δὲ ἀλλ’ ἢ κατέχων τὸ πνεῦμα ἢ ἐκπνέων οὐκ ὀσμᾶται, οὔτε πόρρω οὔτ’ ἐγγύς, οὐδ’ ἂν ἐπιθῇ τις εἰς τὸν μυκτῆρα ἐντός. καὶ τὸ μὲν ἐπ’ αὐτῷ τῷ αἰσθητηρίῳ τιθέμενον ἀναίσθητον εἶναι κοινὸν πάντων, ἀλλὰ τὸ ἄνευ τοῦ ἀναπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον ἐπὶ τῶν ἀνθρώπων ἐστίν· τοῦτο δὲ πειρωμένῳ δῆλον. εἰ οὖν τὰ ἄναιμα μὴ ἀναπνεῖν, ἑτέρων ἄν τινα ἔχοι αἴσθησιν παρὰ τὰς λεγομένας. ἀλλ’ εἴπερ τῆς ὀσμῆς αἰσθάνεται, ἀδύνατον· ἡ γὰρ τοῦ ὀσφραντοῦ καὶ εὐώδους καὶ δυσώδους αἴσθησις ὄσφρησίς ἐστιν. φαίνεται δὲ καὶ φθειρόμενα ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν ὑφ’ ὧνπερ καὶ ἄνθρωπος, οἷον ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων. ὀσφραίνεσθαι μέντοι νῦν ἀναγκαῖον, ἀλλ’ οὐκ ἀναπνεῖν. ἀλλ’ ἔοικε διαφέρειν τὸ αἰσθητήριον τοῦτο τοῖς ἀνθρώποις πρὸς τὸ τῶν ἄλλων ζῴων, ὥσπερ καὶ τὰ ὄμματα πρὸς τὰ τῶν σκληροφθάλμων (τὰ μὲν γὰρ ἔχει πῶμα καὶ ὥσπερ ἔλυτρον τὰς βλεφαρίδας, ἃς ἂν μὴ ἀνασπάσῃ καὶ κινήσῃ, οὐχ ὁρᾷ· τὰ δὲ σκληρόφθαλμα οὐκ ἔχει, ἀλλ’ εὐθὺς ὁρᾷ ὅ τι ἂν τεθῇ ἐν τῷ διαφανεῖ), οὕτω καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον τοῖς μὲν ἀκάλυφον εἶναι, ὥσπερ τὸ ὄμμα, τοῖς δὲ δεχομένοις τὸν ἀέρα ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀποκαλύπτεσθαι, διευρυνομένων τῶν φλεβῶν καὶ τῶν πόρων.

3 422a καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα ἐν τῷ ὑγρῷ οὐκ ὀσμᾶται, ὅτι ἀνάγκη ἀναπνεύσαντος ὀσφρανθῆναι, ἐν δὲ τῷ ὑγρῷ ἀδύνατον ποιεῖν. ἔστι δ’ ἡ ὀσμὴ τοῦ ξηροῦ ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ· τὸ δ’ ὀσφραντικὸν τὸ αἰσθητήριον τὸ δυνάμει τοιοῦτον. Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι, καὶ τοῦτο αἴτιον τοῦ μὴ εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ ἀλλοτρίου ὄντος σώματος· οὐδὲ γὰρ ἡ ἁφή. καὶ τὸ σῶμα ἐν ᾧ ὁ χυμός, τὸ γευστόν, ἐν ὑγρῷ ὡς ὕλῃ· τοῦτο δ’ ἁπτόν τι. διὸ κἂν εἰ ἐν ὕδατι εἴημεν, αἰσθανόμεθα ἐμβληθέντος γλυκέος, οὐ διὰ τοῦ μεταξὺ δὲ ἡμῖν ἡ αἴσθησις, ἀλλὰ τῷ μιχθῆναι τῷ ὑγρῷ, ὥσπερ ποτῷ· τὸ δὲ χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μίγνυσθαι, οὐδὲ ταῖς ἀπορροίαις. ὡς μὲν οὖν τὸ μεταξὺ οὐθὲν ἔστιν· ὡς δὲ χρῶμα τὸ ὁρατόν, οὕτω γευστὸν χυμός. οὐθὲν δὲ ποιεῖ αἴσθησιν χυμοῦ ἄνευ ὑγρότητος, ἀλλ’ ἔχει ἐνεργείᾳ ἢ δυνάμει ὑγρότητα, οἷον τὸ ἁλμυρόν· τηκτόν τε γὰρ αὐτὸ καὶ συντηκτικὸν τῆς γλώττης. ὥσπερ δὲ καὶ ἡ ὄψις ἐστὶ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου (ὁ γὰρ σκότος ἀόρατος, κρίνει δὲ καὶ τοῦτον ἡ ὄψις), ἐπὶ τοῦ λίαν λαμπροῦ (καὶ γὰρ τοῦτό πως ἀόρατον, ἄλλον τρόπον καὶ ὁ σκότοσ)—ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ψόφου τε καὶ σιγῆς, ὧν τὸ .... εἴρηται πρότερον ὅτι καὶ δι’ ὑμένος ἂν πάντων αἰσθανοίμεθα τῶν ἁπτῶν, κἂν εἰ λανθάνοι διείργων, ὁμοίως ἂν ἔχοιμεν ὥσπερ νῦν ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι· δοκοῦμεν γὰρ αὐτῶν θιγγάνειν καὶ οὐθὲν εἶναι διὰ μέσου.

4 423b (8) ἀλλὰ διαφέρει τούτῳ τὰ ἁπτὰ τῶν ὁρατῶν καὶ ψοφητικῶν, ὅτι ἐκείνων αἰσθανόμεθα τῷ τὸ μεταξὺ ποιεῖν τι ἡμᾶς, τῶν δ’ ἁπτῶν οὐχ ὑπὸ τοῦ μεταξὺ ἀλλ’ ἅμα τῷ μεταξύ, ὥσπερ οἱ διὰ τῆς ἀσπίδος πληγέντες· οὔτε γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν, ἀλλ’ ἅμα ἀμφοῖν συνέβη πληγῆναι. ὅλως δ’ ἔοικε καὶ ἡ σὰρξ καὶ ἡ γλῶττα, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθητήριον ὥσπερ ἐκείνων ἕκαστον. αὐτοῦ δὲ τοῦ αἰσθητηρίου ἁπτομένου οὔτ’ ἐκεῖ οὔτ’ ἐνταῦθα γενοστοαναίσθησιν, οἷον εἴ τις τὸ σῶμα τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λευκὸν ἐπὶ τοῦ ὄμματος θείη τὸ ἔσχατον. ᾗ καὶ δῆλον ὅτι ἐντὸς τὸ τοῦ ἁπτοῦ αἰσθητικόν. οὕτω γὰρ ἂν συμβαίνοι ὅπερ ἐπὶ τῶν ἄλλων· ἐπιτιθεμένου γὰρ ἐπὶ τὸ αἰσθητήριον οὐκ ἐσθάνεται, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένου αἰσθάνεται· ὥστε μεταξὺ ἄρα τοῦ ἁπτικοῦ ἡ σάρξ. ἁπταὶ μὲν οὖν εἰσὶν αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα· λέγω δὲ διαφοράς, αἳ τὰ στοιχεῖα διορίζουσι, θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν, περὶ ὧν εἴρηται πρότερον ἐν τοῖς περὶ τῶν στοιχείων. τὸ δὲ αἰσθητήριον αὐτῶν τὸ ἁπτικόν, καὶ ἐν ᾧ ἡ καλουμένη ἁφὴ ὑπάρχει πρώτῳ, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον· τὸ γὰρ αἰσθάνεσθαι πάσχειν τί ἐστιν· ὥστε τὸ ποιοῦν αὐτὸ ἐνεργείᾳ τοιοῦτον ποιεῖ ἐκεῖνο τὸ δυνάμει ὄν.

4 424a διὸ τοῦ ὁμοίως θερμοῦ ἢ ψυχροῦ, ἢ σκληροῦ ἢ μαλακοῦ, οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν, ὡς ἂν τοῦ αἰσθητηρίου τῆς αἰσθήσεως οἷον μεσότητός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως. καὶ διὰ τοῦτο κρίνει τὰ αἰσθητά. τὸ γὰρ μέσον ὁποτερονοῦν αὐτῶν θάτερον τῶν ἄκρων· καὶ δεῖ ὥσπερ τὸ μέλλον λευκοῦ αἰσθήσεσθαι ἢ μέλανος μηδέτερον εἶναι ἐνεργείᾳ, ἀλλὰ δυνάμει, οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ ἐπὶ τῆς ἁφῆς μήτε θερμὸν μήτε ψυχρόν. ἔτι δ' ὥσπερ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ ἄλλαι τῶν ἀντικειμένων, οὕτω καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ καὶ ἀνάπτου· ἄναπτον δὲ τό τε μικρὰν πάμπαν ἔχον διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ ἀήρ, καὶ αἱ ὑπερβολαὶ τῶν ἁπτῶν ἄναπτοι, ὥσπερ τὰ φθαρτικά. καθ' ἑκάστην μὲν οὖν αἴσθησιν εἴρηται ὡς ἐν τύπῳ ειπεῖν. Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτύλου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον, λαμβάνει δὲ τὸ χαλκοῦν ἢ χρυσοῦν σημεῖον, ἀλλ' οὐχ ᾗ χαλκὸς ἢ χρυσός. ὁμοίως δὲ καὶ ἤσθησις ἑκάστη ὑπὸ τοῦ ἔχοντος χρῶμα ἢ ψόφον ἢ χυμὸν πάσχει, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται, ἀλλ' ᾗ τοιόνδε καὶ κατὰ τὸν λόγον. αἰσθητήριον δὲ πρῶτον, ἐν ᾧ ἡ τοιαύτη δύναμις. ἔστι μὲν οὖν τὸ αὐτό, τὸ δ' εἶναι ἕτερον· μέγεθος μὲν γὰρ ἄν τι εἴη τὸ αἰσθανόμενον, οὐ μέντοι τό γε αἰσθητικῷ εἶναι ἢ αἰσθήσει μεγέθει ἐστὶν εἶναι, ἀλλὰ λόγος τις καὶ δύναμις ἐκείνου. φανερὸν δ' ἐκ τούτων καὶ διὰ τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθίρουσι τὰς αἰσθήσεις (ἂν γὰρ ᾖ ἡ κίνησις ἰσχυροτέρα τοῦ αἰσθητηρίου, λύεται ὁ λόγος, τοῦτο δ' ἦν αἴσθησις, ὡσπερανεὶ ἡ συμφωνία καὶ ὁ τόνος σφόδρα κρουομένων τῶν χορδῶν), καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντα ὑπὸ τῶν ἁπτῶν· καὶ γὰρ ψύχεται καὶ θερμαίνεται· αἴτιον δὲ τὸ μὴ ἔχειν μεσότητα, μηδὲ τοιαύτην ἀρχὴν οἷον τὰ εἴδη τῶν αἰσθητῶν δέχεσθαι, ἀλλὰ μετὰ τῆς ὕλης πάσχειν.

4 424b ἀπορήσειε δ' ἄν τις, ἆρα πάθοι ἂν ὑπ' ὀσμῆς τὸ μὴ δυνάμενον ὀσφρανθῆναι, ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δ' ἡ ὀσμὴ τὸ ὀσφραντόν, εἴ τι ποιεῖ, τὴν ὄσφρησιν ποιεῖ ὀσμή, ὥστε οὐθὲν πάσχειν τῶν δυνατὸν ὀσφρανθῆναι (ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων), οὐδὲ τῶν δυνατῶν, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. ἅμα δὲ δῆλον καὶ οὕτως. οὔτε γὰρ ψόφος οὔτε τὸ φῶς καὶ σκότος οὔτε ἡ ὀσμὴ οὐθὲν ποιεῖ τὰ σώματα, ἀλλ' ἐν οἷς ἐστίν, οἷον ἀὴρ ὁ μετὰ τῆς βροντῆς διέστησε τὸ ξύλον. ἀλλὰ δὴ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα ἢ ἀλλοιοῖτο; ἆρ' οὖν κἀκεῖνα ποιεῖ; οὐ πᾶν σῶμα παθητικὸν ὑπ' ὀσμῆς καὶ ψόφου, καὶ τὰ πάσχοντα ἀόριστα, καὶ οὐ μένει, οἷον ἀήρ· ὄζει γὰρ ὡς παθούτι. τί οὖν ἐστὶ τὸ ὀσμᾶσθαι παρὰ τὸ πάσχειν τι; ἢ τὸ μὲν ὀσμασθαιαιαισθάνεσθαι, ὁ δ' ἀὴρ πανθῶν τοῦτο ταχὺ αἰσθητὸς γίγνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org